ἑτέροις προστρίβονται· καὶ ταῦτα ἐφόδοις αὐτοὶ τοὺς ἀθλίους ἑάλωσαν ὑφαιροῦ
κλέπτουσι λήμμασι· καὶ κατὰ τὸν ἄχαρ, οὐ μίαν γλῶτταν χρυσῆν,
ἀλλ' ἐμψύχους πολλὰς ὑφαιρούμενοι· ἀλλ' ἐμφράττουσι τὸ στόμα λαλούντων
ἄδικα, τάφος ἠσφαλισμένος παρὰ σοῦ· ὥσπερ οὐ τάφος ἐκκεκονιαμένος
μᾶλλον δὲ ἀνεῳγμένος· καὶ πολλῶν βλασφημιῶν δυσωδίαν
ἐξερευγόμενος· ἐσφραγισμένος δὲ λίθος, ἀνεπιβούλευτον ἐπι-
σφραγίζων τὴν ἐγρήγορσιν· ἡ στρατιωτικὴ φυλακὴ· τὴν
συκοφαντίαν οὐκ ἐῶσα τῆς κλοπῆς τὴν ἔφοδον, γενναίως
τὴν διαβολὴν ἀποκρούεται· θεοῦ κἀνταῦθα τοὺς σοφοὺς δρασσομένου
ἐν τῇ πανουργίᾳ αὐτῶν· καὶ ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτῶν
τοὺς ἁμαρτωλοὺς συλλαμβάνοντος· ἵνα ὁ τῆς ζωῆς θησαυρὸς
ἀποδειχθῇ διὰ πάντων ἀσύλητος· ὁ γὰρ ἑστηκὼς ὀπίσω τοῦ
τοίχου ἐπὶ τοῦ προσλήμματος, οὐ μόνον προκύπτων διὰ τῶν
θυρίδων τῶν φωταγωγῶν τῶν προφητῶν, ἀλλ' ἐκ-
πηδᾷ καὶ διὰ τῶν δικτύων τῶν ἰουδαϊκῶν παναγρῶν·
δι' ὧν τὸν ἀνάλωτον ἐπηρεάζοντο θηρεύειν· ζῶντά τε καὶ θανάτου
γευσάμενον· ἀλλὰ τότε μὲν καὶ μωσῆς ἐν ἑαυτῷ προγράφων
πατάσσει τὴν πέτραν τῇ ῥάβδῳ δίς· ἡ δὲ πέτρα κατὰ τὸν
μακάριον παῦλον, ἦν ὁ χριστός· οὐ γὰρ ἐφάπαξ καὶ χθὲς πλήττουσιν
ἀνελόντες· ἀλλὰ καὶ σήμερον ὀδόντων ἐπικεντοῦντες λόγχαις·
ὅπως ἐπιλησθῇ ἀπὸ καρδίας ὡσεὶ νεκρὸς ὁ ἀρχηγὸς τῆς ζωῆς·
καὶ καινὸν οὐδὲν ἢ πάλιν ἰουδαϊκὰ συμβούλια κατὰ χριστοῦ· ὡς
πάλιν ἐθνικὰ φρυάγματα· ἡμᾶς δὲ αὖθις τὸν λόγον ὡς
ἀρχὴν οἰκεῖαν ἐκκορυφώσωμεν· ἀπὸ τῶν γραφικῶν θησαυρῶν
καινὰ καὶ παλαιὰ κατὰ τὸν μαθητευθέντα ἐν τῇ βασιλείᾳ
τῶν οὐρανῶν γραμματέα, ἐκφέροντες· καὶ ὡς ἐν ἀτόμῳ τοῦ μυστηρίου
συνυφαίνοντες κόσμον ἑόρτιον· ἐφ' οὗ τοῖς ἐφηβοῖς ὁ θεὸς